## ΠΡΟΒΛΗΜΑ Θ

*Διὰ τί τῷ ποτίμῳ μᾶλλον ἢ τῷ θαλαττίῳ πλύνεται τὰ ἱμάτια*

Collocuntur Theo, Themistocles, Plutarchus

**1.** *Θέων ὁ γραμματικὸς ἑστιωμένων ἡμῶν παρὰ Μεστρίῳ Φλώρῳ πρὸς Θεμιστοκλέα τὸν Στωικὸν διηπόρησεν, τί δήποτε Χρύσιππος* (St. V. Fr. III 546) *ἐν πολλοῖς τῶν παραλόγων καὶ ἀτόπων ἐπιμνησθείς, οἷόν ἐστι τὸ ‛τάριχος, ἂν ἅλμῃ βρέχηται, γλυκύτερον γίνεσθαι’ καὶ τὸ ‛τῶν ἐρίων τοὺς πόκους ἧττον ὑπακούειν τοῖς βίᾳ* F *διασπῶσιν ἢ τοῖς ἀτρέμα διαλύουσιν’ καὶ τὸ ‛νηστεύσαντας ἀργότερον ἐσθίειν ἢ προφαγόντας’, οὐδενὸς αὐτῶν αἰτίαν ἀπέδωκεν. ὁ δὲ Θεμιστοκλῆς εἰπὼν ὅτι ταῦτα Χρύσιππος ἄλλως ἐν παραδείγματος λόγῳ προὔθετο, ῥᾳδίως ἡμῶν καὶ ἀλόγως ὑπὸ τοῦ εἰκότος ἁλισκομένων καὶ πάλιν ἀπιστούντων τῷ παρὰ τὸ εἰκός, ἐπιστρέφων |* 627 *‛σοὶ δ’’ ἔφη ‛βέλτιστε, τί πρᾶγμα περὶ τούτων διαπορεῖν; εἰ γὰρ ἡμῖν αἰτίων ζητητικὸς καὶ θεωρητικὸς γέγονας, μὴ μακρὰν οὕτως ἀποσκήνου τῶν ἰδίων, ἀλλ’ εἰπὲ δι’ ἣν αἰτίαν Ὅμηρος* (ζ 59) *ἐν τῷ ποταμῷ πλύνουσαν οὐκ ἐν τῇ θαλάττῃ, καίπερ ἐγγὺς οὔσῃ, τὴν Ναυσικάαν πεποίηκεν, καίτοι θερμοτέραν γε καὶ διαφανεστέραν εἰκὸς καὶ ῥυπτικωτέραν εἶναι.’*

**2.** *Καὶ ὁ Θέων ‛ἀλλὰ τοῦτό γ’’ εἶπε ‛⟨διὰ⟩ τῶν γεωδῶν Ἀριστοτέλης* (fr. 217) *πάλαι διαλέλυκεν, ⟨ὃ προ⟩βέβληκας ἡμῖν. ⟨πολὺ γὰρ⟩ τῇ θαλάττῃ τὸ τραχὺ καὶ γεῶδες ἐνδιέ-*